ΦΡΟΝΤΙΣΤΗΡΙΑ ΦΛΩΡΟΠΟΥΛΟΥ
ΑΝΘΡΩΠΙΣΤΙΚΕΣ ΣΠΟΥΔΕΣ

ΔΙΑΓΩΝΙΣΜΑ ΣΤΑ ΑΡΧΑΙΑ ΠΡΟΣΑΝΑΤΟΛΙΣΜΟΥ Γ' ΛΥΚΕΙΟΥ

Πέμπτη 20 Ιουλίου 2017

Διδαγμένο κείμενο:

(Πλάτωνος Πρωταγόρας)

Α) Κείμενο:

Ἅτε δὴ οὖν οὐ πάνυ τι σοφὸς ὢν ὁ Ἐπιμηθεὺς ἔλαθεν αὑτὸν καταναλώσας τὰς δυνάμεις εἰς τὰ ἄλογα· λοιπὸν δὴ ἀκόσμητον ἔτι αὐτῷ ἦν τὸ ἀνθρώπων γένος, καὶ ἠπόρει ὅ,τι χρήσαιτο. ἀποροῦντι δὲ αὐτῷ ἔρχεται Προμηθεὺς ἐπισκεψόμενος τὴν νομήν, καὶ ὁρᾷ τὰ μὲν ἄλλα ζῷα ἐμμελῶς πάντων ἔχοντα, τὸν δὲ ἄνθρωπον γυμνόν τε καὶ ἀνυπόδητον καὶ ἄστρωτον καὶ ἄοπλον· ἤδη δὲ καὶ ἡ εἱμαρμένη ἡμέρα παρῆν, ἐν ᾗ ἔδει καὶ ἄνθρωπον ἐξιέναι ἐκ γῆς εἰς φῶς. Ἀπορίᾳ οὖν σχόμενος ὁ Προμηθεὺς ἥντινα σωτηρίαν τῷ ἀνθρώπῳ εὕροι, κλέπτει Ἡφαίστου καὶ Ἀθηνᾶς τὴν ἔντεχνον σοφίαν σὺν πυρί —ἀμήχανον γὰρ ἦν ἄνευ πυρὸς αὐτὴν κτητήν τῳ ἢ χρησίμην γενέσθαι— καὶ οὕτω δὴ δωρεῖται ἀνθρώπῳ. Τὴν μὲν οὖν περὶ τὸν βίον σοφίαν ἄνθρωπος ταύτῃ ἔσχεν, τὴν δὲ πολιτικὴν οὐκ εἶχεν· ἦν γὰρ παρὰ τῷ Διί. Τῷ δὲ Προμηθεῖ εἰς μὲν τὴν ἀκρόπολιν τὴν τοῦ Διὸς οἴκησιν οὐκέτι ἐνεχώρει εἰσελθεῖν —πρὸς δὲ καὶ αἱ Διὸς φυλακαὶ φοβεραὶ ἦσαν— εἰς δὲ τὸ τῆς Ἀθηνᾶς καὶ Ἡφαίστου οἴκημα τὸ κοινόν, ἐν ᾧ ἐφιλοτεχνείτην, λαθὼν εἰσέρχεται, καὶ κλέψας τήν τε ἔμπυρον τέχνην τὴν τοῦ Ἡφαίστου καὶ τὴν ἄλλην τὴν τῆς Ἀθηνᾶς δίδωσιν ἀνθρώπῳ, καὶ ἐκ τούτου εὐπορία μὲν ἀνθρώπῳ τοῦ βίου γίγνεται, Προμηθέα δὲ δι' Ἐπιμηθέα ὕστερον, ᾗπερ λέγεται, κλοπῆς δίκη μετῆλθεν.

Ἐπειδὴ δὲ ὁ ἄνθρωπος θείας μετέσχε μοίρας, πρῶτον μὲν διὰ τὴν τοῦ θεοῦ συγγένειαν ζῴων μόνον θεοὺς ἐνόμισεν, καὶ ἐπεχείρει βωμούς τε ἱδρύεσθαι καὶ ἀγάλματα θεῶν· ἔπειτα φωνὴν καὶ ὀνόματα ταχὺ διηρθρώσατο τῇ τέχνῃ, καὶ οἰκήσεις καὶ ἐσθῆτας καὶ ὑποδέσεις καὶ στρωμνὰς καὶ τὰς ἐκ γῆς τροφὰς ηὕρετο.

Παρατηρήσεις:

1.Να μεταφράσετε το απόσπασμα : «· λοιπὸν δὴ ἀκόσμητον … ἦν γὰρ παρὰ τῷ Διί.»

Μονάδες 10

2. Ο Προμηθέας αφού έκανε επιθεώρηση στη διανομή του Επιμηθέα διαπίστωσε ότι ο άνθρωπος έχει μείνει χωρίς εφόδια.

α) Ποιες ατέλειες παρουσίαζε ο άνθρωπος, σύμφωνα με το μύθο;

β) Αφού ορίσετε τις έννοιες «ἔντεχνος σοφία» και «ἔμπυρος τέχνη» να αναφερθείτε στη σημασία που έχουν τα προμηθεϊκά αυτά δώρα στην εξέλιξη του ανθρώπινου γένους.

Μονάδες 15

3. «Ἐπειδὴ δὲ ὁ ἄνθρωπος, …γῆς τροφὰς ηὕρετο.» Πώς ο άνθρωπος απέκτησε συγγένεια με τους θεούς; Ποιες πολιτισμικές κατακτήσεις του παρουσιάζονται στο συγκεκριμένο απόσπασμα;

Μονάδες 15

4. Τι γνωρίζετε για τη μαιευτική μέθοδο του Σωκράτη;

Μονάδες 10

5. Να δοθούν από δύο ομόρριζα ουσιαστικά στη νέα ελληνική για καθεμιά από τις παρακάτω λέξεις: **ἔλαθεν**, **ἔδει**, **ἔσχεν**, **εἰσελθεῖν**, **δίδωσιν**.

Μονάδες 10

Καλή επιτυχία!!!

ΦΡΟΝΤΙΣΤΗΡΙΑ ΦΛΩΡΟΠΟΥΛΟΥ
ΑΝΘΡΩΠΙΣΤΙΚΕΣ ΣΠΟΥΔΕΣ

ΔΙΑΓΩΝΙΣΜΑ ΣΤΑ ΑΡΧΑΙΑ ΠΡΟΣΑΝΑΤΟΛΙΣΜΟΥ Γ' ΛΥΚΕΙΟΥ

Πέμπτη 20 Ιουλίου 2017

Αδίδακτο κείμενο:

Ἀνδοκίδου Περὶ τῶν μυστηρίων, 60-62

Ο Ανδοκίδης υπερασπίζεται τον εαυτό του απέναντι στην κατηγορία για συμμετοχή στο σκάνδαλο του ακρωτηριασμού των Ερμών και της παρωδίας των Ελευσινίων μυστηρίων.

Ὅς ἡμᾶς μὲν ἀπώλλυεν ἀδίκως, τὴν δὲ πόλιν ἐξηπάτα, ταῦτα δὲ ποιῶν μέγιστος εὐεργέτης ἐδόκει εἶναι καὶ χρήματα ἐλάμβανε. Διὰ ταῦτα εἶπον τῇ βουλῇ ὅτι εἰδείην τοὺς ποιήσαντας, καὶ ἐξήλεγξα τὰ γενόμενα, ὅτι εἰσηγήσατο μὲν πινόντων ἡμῶν ταύτην τὴν βουλὴν γενέσθαι Εὐφίλητος, ἀντεῖπον δὲ ἐγώ, καὶ τότε μὲν οὐ γένοιτο δι' ἐμέ, ὕστερον δ' ἐγὼ μὲν ἐν Κυνοσάργει ἐπὶ πωλίον ὅ μοι ἦν ἀναβὰς ἔπεσον καὶ τὴν κλεῖν συνετρίβην καὶ τὴν κεφαλὴν κατεάγην, φερόμενος τε ἐπὶ κλίνης ἀπεκομίσθην οἴκαδε˙ αἰσθόμενος δ' Εὐφίλητος ὡς ἔχοιμι, λέγει πρὸς αὐτοὺς ὅτι πέπεισμαι ταῦτα συμποιεῖν καὶ ὡμολόγηκα αὐτῷ μεθέξειν τοῦ ἔργου καὶ περικόψειν τὸν Ἑρμῆν τὸν παρὰ τὸ Φορβαντεῖον.

Λεξιλόγιο:

βουλὴν (βουλή)= πρόταση

πωλίον= μικρό άλογο

κλεῖν (κλεὶς)= κλείδα

Α] Να μεταφραστεί το απόσπασμα.

Μονάδες 20

Β] Γραμματική:

1. Να γραφούν τα ουσιαστικά στις αντίστοιχες πτώσεις:

τὴν πόλιν (γενική ενικού – πληθυντικού):

εὐεργέτης (δοτική ενικού – πληθυντικού):

χρήματα (γενική ενικού – πληθυντικού):

τὴν βουλὴν (κλητική ενικού – πληθυντικού):

τοῦ ἔργου (δοτική ενικού – πληθυντικού):

Μονάδες 5

2. α) Να αντικατασταθεί εγκλιτικά στο β' ενικό του παθητικού αορίστου: **ἀπεκομίσθην**.

β) Να αντικατασταθεί εγκλιτικά στο γ' ενικό του ενεστώτα: **εἶναι**.

Μονάδες 5

Γ] Συντακτικό:

1. Να αναγνωριστούν συντακτικά οι ακόλουθες λέξεις: **ἀδίκως**, **εὐεργέτης**, **διὰ ταῦτα**, **τὴν βουλήν**, **ἐπὶ πωλίον**.

Μονάδες 5

2. Να βρεθούν τα υποκείμενα των μετοχών **πινόντων** και **αἰσθόμενος** και να χαρακτηριστούν οι μετοχές συνημμένες ή απόλυτες.

Μονάδες 2

3. Να αναγνωριστεί η δευτερεύουσα πρόταση (είδος, εισαγωγή, εκφορά, συντακτικός ρόλος): **ὅτι εἰδείην τοὺς ποιήσαντας**.

Μονάδες 3

Καλή επιτυχία!!!